θερμῶς προσφθάνοντα, Σπυρίδωνα τὸν ἱεράρχην ἐγκωμιάζοντες οὕτως εἴπωμεν. Πανάγιε Διδάσκαλε, ἀπόλυσον ἐξ ἐλέους σοὺς δούλους ἐκ τῶν τοῦ βίου σκανδάλων, καὶ ῥῦσαι κολάσεων τῶν αἰωνίων ἡμᾶς.

Καὶ νῦν. Θεοτοκίον. Ὁ αὐτός.

Σαλπίσωμεν ἐν σάλπιγγι ᾀσμάτων. προκύψασα γὰρ ἄνωθεν ἡ παντάνασσα Μητροπάρθενος, ταῖς εὐλογίαις καταστέφει τοὺς ἀνυμνοῦντας αὐτήν. Βασιλεῖς καὶ Ἄρχοντες συντρεχέτωσαν, καὶ τὴν Βασιλίδα κροτείτωσαν ἐν ὕμνοις, Βασιλέα τεκοῦσαν, τοὺς θανάτῳ κρατουμένους πρίν, ἀπολῦσαι φιλανθρώπως εὐδοκήσαντα. Ποιμένες καὶ Διδάσκαλοι, τὴν τοῦ καλοῦ ποιμένος ὑπέραγνον Μητέρα συνελθόντες εὐφημήσωμεν, τὴν λυχνίαν τὴν χρυσαυγῆ, τὴν φωτοφόρον νεφέλην, τὴν τῶν οὐρανῶν πλατυτέραν, τὴν ἔμψυχόν τε κιβωτόν, τὸν πυρίμορφον τοῦ Δεσπότου θρόνον, τὴν μαννοδόχον χρυσέαν στάμνον, τὴν κεκλεισμένην τοῦ Λόγου πύλην, ἁπάντων Χριστιανῶν τὸ καταφύγιον, ᾄσμασι θεηγόροις ἐγκωμιάζοντες οὕτως εἴπωμεν· Παλάτιον τοῦ Λόγου, ἀξίωσον τοὺς ταπεινοὺς ἡμᾶς τῆς οὐρανῶν βασιλείας, οὐδὲν γὰρ ἀδύνατον τῇ μεσιτείᾳ σου.

Δοξολογία μεγάλη καὶ ἀπόλυσις.

Εἰς τὴν Λειτουργίαν τυπικά· καὶ ἐκ τοῦ Κανόνος ᾠδὴ γʹ. καὶ ςʹ. ὁ Ἀπόστολος. Πρὸς Ἑβραίους.

Ἀδελφοί, τοιοῦτος ἡμῖν ἔπρεπεν Ἀρχιερεύς.

Εὐαγγέλιον κατὰ Ἰωάννην.

Εἶπεν ὁ Κύριος, ἐγώ εἰμι ἡ θύρα.

Κοινωνικόν. Εἰς μνημόσυνον αἰώνιον.

Τέλος καὶ τῷ Θεῷ ἀτελεύτητος δόξα.

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΚΡΗΤΗΣ